ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.
ΙΩΝ. ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν
καὶ δυστυχῆσαι καὖθις αὖ πρᾶξαι καλῶς
τύχη, παρ᾽ οἵαν ἤλθομεν στάθμην βίου
μητέρα φονεῦσαι καὶ παθεῖν ἀνάξια.
φεῦ·
ἆρ᾽ ἐν φαενναῖς ἡλίου περιπτυχαῖς
ἔνεστι πάντα τάδε καθ᾽ ἡμέραν μαθεῖν;
φίλον μὲν οὖν σ᾽ εὕρημα, μῆτερ, εὕρομεν,
καὶ τὸ γένος οὐδὲν μεμπτόν ἐσθ᾽ ἡμῖν τόδε·
τὰ δ᾽ ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι.
δεῦρ᾽ ἔλθ᾽· ἐς οὖς σοι τοὺς λόγους εἰπεῖν θέλω
καὶ περικαλύψαι τοῖσι πράγμασι σκότον.
ὅρα σύ, μῆτερ, μὴ σφαλεῖσ᾽ ἃ παρθένοις
ἐγγίγνεται νοσήματ᾽ εἰς κρυπτοὺς γάμους,
ἔπειτα τῷ θεῷ προστίθης τὴν αἰτίαν,
καὶ τοὐμὸν αἰσχρὸν ἀποφυγεῖν πειρωμένη,
Φοίβῳ τεκεῖν με φής, τεκοῦσ᾽ οὐκ ἐκ θεοῦ.
ΚΡ. μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε
Νίκην Ἀθάναν Ζηνὶ γηγενεῖς ἔπι,
οὐκ ἔστιν οὔτις σοι πατὴρ θνητῶν, τέκνον,
ἀλλ᾽ ὅσπερ ἐξέθρεψε Λοξίας ἄναξ.
ΙΩΝ. πῶς οὖν τὸν αὑτοῦ παῖδ᾽ ἔδωκ᾽ ἄλλῳ πατρὶ
Ξούθου τε φησὶ παῖδά μ᾽ ἐκπεφυκέναι;
ΚΡ. πεφυκέναι μὲν οὐχί, δωρεῖται δέ σε
αὑτοῦ γεγῶτα· καὶ γὰρ ἂν φίλος φίλῳ
δοίη τὸν αὑτοῦ παῖδα δεσπότην δόμων.
ΙΩΝ. ὁ θεὸς ἀληθής, ἢ μάτην μαντεύεται,
ἐμοῦ ταράσσει, μῆτερ, εἰκότως φρένα.
ΚΡ. ἄκουε δή νυν ἅμ᾽ ἐσῆλθεν, ὦ τέκνον·
εὐεργετῶν σε Λοξίας εἰς εὐγενῆ
δόμον καθίζει· τοῦ θεοῦ δὲ λεγόμενος,

1513. αὖ] Piersonus, εὖ libri. 1519. ἐσθ᾽] Hartungius, ὡς libri. 1521. γάρ libri, σοι schol. Phoen. 909. 1522. τοῖσι] Brubachiana, τοῖς libri. 1523. σφαλεῖσ᾽ ἃ παρθένοις] Musgravius, σφαλεῖσα παρθένος libri. 1529. Ἀθάναν] Matthiae, ἀθηνᾶν libri. 1530. οὔτις] Hartungius, ὅστις libri.